[127] Πρβλ στο άρθρο της ιδίας *Ἀγνωστη ακολουθία στον Ἁγιο Κασιανό τον Ρωμαίο, ποίημα «του Κρήτης» (Νικηφόρου του Μοσχόπουλου)*, Δίπτυχα 2 (1980), σσ. 119-145.

[128] Nikiforova Al., σ. 167, υποσ. 29.

[129] Προ του 3ου αιώνος στην Αλεξάνδρεια οι Χριστιανοί τελούσαν λειτουργίες στις Κατακόμβες, όμως ο άγιος Θεωνάς ίδρυσε εκεί τον πρώτο ναό, στις αρχές του επόμενου αιώνος, ο οποίος μετεφέρθη στη νέα εκκλησία του Αρχαγγέλου, που είχε κτιστεί στην περιφέρεια του παλαιού Καισαρείου και κάηκε από τους παγανιστές λίγο αργότερα, Παπαδόπουλος Χρ., σ. 488· Birk St. - Kristensen Tr. M.- Poulsen Bir., σσ. 193-194. Οι ειδωλολάτρες συνέρχοντο την 12η του μηνός Αθύρ στο Καισάρειον για την εορτή του Οσίριδος. Το Καισάρειο μετετράπη από τον αυτοκράτορα Κωνσταντίνο σε χριστιανικό ναό αφιερωμένο στον Αρχάγγελο Μιχαήλ, ορίζοντας την αντίστοιχη ημέρα του μηνός Νοεμβρίου διά την τέλεση της εορτής του Ταξιάρχη. Η δε ύψωση των υδάτων του Νείλου στην Μέμφιδα εορταζόταν στην Αλεξάνδρεια, παρουσία του Αρχιεπισκόπου, όστις έρριπτε τον Σταυρό στα ύδατα και ερράντιζε τον

Αίγυπτο και την Συρία, όπου ζούσαν αρκετοί εύποροι Χριστιανοί, εορταζόταν πολλάκις κάθε χρόνο η μνήμη του Αρχαγγέλου. Σε κάθε εορτή αναγιγνωσκόταν ένας λόγος του Σεβήρου, Αρχιεπισκόπου Αντιοχείας, ο οποίος είχε γραφεί για την εορτή που συνέπιπτε με την ημέρα του Πάσχα. Αφηγείται, λοιπόν, την ιστορία ενός πλουσίου εμπόρου για τον οποίο ο Θεός έκρινε πως χρήζει σωτηρίας καθώς ήτο παγανιστής. Μία χρονιά, λοιπόν, τον μήνα Αθύρ (Οκτώβρη-Νοέμβρη), ο άντρας έφυγε με το πλοίο προς το μέρος όπου θα γινόταν ο εορτασμός του Αρχαγγέλου[130]. Θαυμάζοντας το μεγαλείο του Μιχαήλ ζήτησε να εκχριστιανιστεί, έπρεπε όμως πρώτα να βαπτισθεί. Ο άντρας δοκιμάστηκε από τον διάβολο, όμως, με την προστασία του αρχαγγέλου, αυτός και η οικογένειά του τελικά βαπτίσθηκαν χριστιανοί. Η οικογένεια ταλανίστηκε πολλάκις, ωστόσο κατάφερε να διαφυλαχθεί[131]. Με το πέρας των χρόνων ο γιος του, Ιωάννης, έχοντας γίνει επίσκοπος, έχτισε εκκλησία προς τιμήν του προστάτη Αγίου του και, αφού κατέστρεψε με τους ακολούθους του τον ναό και το άγαλμα του Διός, έχτισε στην θέση του ναό των Αγίων Αποστόλων[132].

Τα βιβλικά χωρία, τα οποία επιλέγει ο υμνογράφος στον ύμνο του, σκοπό έχουν να τονίσουν την δύναμη του Ταξιάρχη ενάντια στους άπιστους εχθρούς. Ο Αρχάγγελος Μιχαήλ, φρουρός εν ειρήνη και προστάτης εν πολέμω, εξολοθρεύει τους απίστους, οι οποίοι ενίοτε στράφηκαν κατά των ιερών ναών του. Ανυμνείται, επίσης, και για την θεραπευτική του ισχύ. Ο υμνογράφος ζητά από τον Πρωτοστάτη προστασία από την μέλλουσα απειλή αλλά και ολόκληρη η χώρα της Αιγύπτου δοξάζει τον Ταξιάρχη. Στα θεοτοκία η γεννήσασα τον Σωτήρα παρακαλείται να απαλλάξει τους πιστούς από την τιμωρία και να γίνει αρωγός στην σωτηρία και την συγχώρεση αυτών.

λαό. Αυτό γινόταν κατά την εορτή των Αγίων Πατέρων, προ της Πεντηκοστής και μετά την Κυριακή των Αγίων Πάντων. Η εορτή των Θεοφανείων ετελείτο στην Αλεξάνδρεια και την λοιπή Αίγυπτο την 8η Νοεμβρίου, συνδεθείσα με το Καισάρειον, και έπειτα, μετα τον 4ο αιώνα, μετεφέρθη εις την 6η Ιανουαρίου, Παπαδόπουλος Χρ., σ. 487· πρβλ και στην ομιλία του Σεβασμιωτάτου Μητροπολίτου Κυρήνης Αθανασίου, *Εἰς τὰ θυρανοίξια τοῦ Ι.Ν. Ἁγίου Γεωργίου Παλαιοῦ Καΐρου*, διαθέσιμη στο http://patriarchateofalexandria.com αλλά και στο εγκώμιο του Καισαρίου Δαπόντε: *Ὅλος ὢν ἁγιασμὸς /Σέγ' αὐτῶν ὤφθη πληρῶν ... Νεῖλος ὥσπερ πλημμυρεῖς ...* , Δαπόντες Καισ., σ. 157.

[130] Severus, σ. xevi.

[131] Ό. π., σ. xevii.

[132] Ό. π., σ. e.

Κριτική έκδοση
των Κανόνων

Εκδοτικά σύμβολα

< > Γράμματα ή λέξεις που έχουν παραλειφθεί από τον γραφέα και προσετέθησαν από τον εκδότη

( ) Επέκταση συντμήσεως

/ Τέλος σελίδος φύλλου χειρογράφου και αρχή νέας

* Εκδοθέν κείμενο

Sinait. gr. 567, ff. 57-59^{v}

Κανὼν ἕτερος. Τῶν ἀσωμάτων. Γερμανοῦ

ὨΙδὴ α΄. Ἦχος πλ. δ΄. Τῷ ἐκτινάξαντι ἐν θαλά<σσῃ>

Τὰς τῶν ἀγγέλων στρατολογίας

ἀγγελικῶς οἱ ἐπὶ γῆς

ὕμνοις ἀσιγήτοις εὐφημήσωμεν, λέγοντες·

ᾄσωμέν σοι Χριστέ,

τῷ ὑπ᾽ ἀγγέλων ἀεὶ προσκυνουμένῳ.

*Τὰς πυριμόρφους ἀγελαρχίας

τῶν ἀσωμάτων λειτουργῶν

πάντες ἀσιγήτως ἐν ᾠδαῖς εὐφημήσωμεν,

κράζοντες σὺν αὐτοῖς

τὸν ἐπινίκιον ὕμνον τῷ Κυρίῳ.

Τοὺς ἀσωμάτους νόας ἐν φόβῳ

---

nomen hymnographi Γερμανοῦ in rubrica deducitur heirm. α΄ EE 229, n. 328, Germani incipit trop. « Τὰς πυριμόρφους …» ed. in EPh. 38 (1939), p. 169 (e codd. Athous, Katholikou Lavrae 19 [1986] et Paris Suppl. gr. 33)

5 cf Ιω. Χρυσ., PG 62, 768, 17-19: … καὶ πάλιν ἄνω εὑρὼν αὐτὸν ἐν οὐρανοῖς προσκυνούμενον ὑπὸ πάσης ἀγγελικῆς στρατολογίας ...

11 sqq cf Γρ. Νύσσ., PG 44, 1165, 25-28: ... μεμέρισται πᾶσα ἡ λογικὴ κτίσις εἴς τε τὴν ἀσώματον καὶ τὴν ἐνσώματον φύσιν. Ἔστι δὲ ἀγγελικὴ μὲν ἡ ἀσώματος, τὸ δὲ ἕτερον εἶδος ἡμεῖς οἱ ἄνθρωποι ...

6 cf Apoc. En. 14, 11

οἱ ἐκ πηλοῦ καὶ ἐξ Ἀδὰμ

ᾄσμασιν ἀπαύστως εὐφημήσωμεν, λέγοντες·

πρεσβεύσατε ἐκτενῶς

ὑπὲρ τοῦ κόσμου, ἀρχάγγελοι Κυρίου.

Τριαδ. Οἱ ταξιάρχαι τῶν ἀσωμάτων

ὑμνολογοῦσιν μυστικῶς

ἄναρχον Θεόν, τὸν ἐν Τριάδι ὑμνούμενον,

ὡς τρία ὄντα καὶ ἓν

ταῖς ὑποστάσεσιν καὶ τῇ οὐσίᾳ.

Θεοτ. Τῆς ὑπὲρ λόγου κυοφορίας

τοῦ θεομύστου σου τόκου

πίστει τὸ μυστήριον σιγῶντες, τιμῶμεν Αὐτῷ·

οὐδεὶς γὰρ πλὴν τοῦ Θεοῦ

ἔγνω τὸ θαῦμα, ἁγνὴ Θεοκυῆτορ./

f. 57^{v} **Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος**

Ἀόρατε, ὕψιστε, ἀκατάληπτε Θεέ,

heirm. γ΄ EE 226, n. 323, Germani

12 cf Apoc. Apocr. 17, 16-17**;** Job 33, 6 **26** Jo. 1, 18

ὃν δοξάζουσιν ἄγγελοι, ὑμνοῦσιν ἀρχάγγελοι

καὶ οἱ δῆμοι τῶν ἄνω ἐν φόβῳ λατρεύουσιν,

φύλαττε τὴν ποίμνην σου.

Πυρίνοις στόμασιν καὶ χείλεσι φλογεροῖς

τῶν ἀγγέλων οἱ δῆμοι, Θεῷ παριστάμενοι,

τὸ ἀσίγητον ᾄσμα συμφώνως προσάγουσιν

τῇ ἀπροσίτῳ δόξῃ Αὐτοῦ.

Οἱ ἄγγελοι, οἱ τῷ θρόνῳ τοῦ Θεοῦ παρεστῶτες,

πρεσβεύσατε, ἵνα, συγχώρησιν

τῶν ἡμῖν ἐπταισμένων λαβόντες,

γενώμεθα υἱοὶ τῆς βασιλείας Αὐτοῦ.

Τριαδ. Θεὸν Παντοκράτορα, τὸν Πατέρα προσκυνῶ

καὶ Θεὸν Παντοδύναμον ὑμνῶ,

τὸν Υἱὸν Αὐτοῦ καὶ Θεὸν παντεπόπτην,

30 Ιω. Μον., PG 96, 1396, 3-5: … ἅπασαι τῶν ἀγγέλων αἱ γλῶσσαι αἱ φλογεροί, καὶ πυρίμορφοι, καὶ τῶν ἀσωμάτων τὰ στόματα …

30-33 cf MV III, p. 53; MR II, p. 78: Ἀσωμάτοις χείλεσι καὶ νοεροῖς στόμασι τῶν Ἀγγέλων αἱ τάξεις, τὸν ἀκατάπαυστον ὕμνον προσφέρουσι, τῇ σῇ ἀπροσίτῳ θεότητι, Κύριε…

33 Γρ. Νύσσ., PG 44, 1265, 20-25: Οὐκοῦν ὁ τὸν Θεὸν ἰδὼν … τὴν ἀπρόσιτον δόξαν …

34 Apoc. 5, 11; Dan. 7, 10 **40** cf II Macc. 9, 5

τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ᾽ ἕνα ἐν Τριάδι Θεόν.

Θεοτ. *Παρθένος ἔτεκες, ἀπειρόγαμε,

καὶ παρθένος ἔμεινας, Μήτηρ ἀνύμφευτε,

Θεοτόκε Μαρία,

Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε σωθῆναι ἡμᾶς.

Ὠδὴ δ΄. Ἐξ ὄρους κατ<α>σκίου, Λόγε

Χαίροις χιλιὰς

τῶν ἄνω στρατευμάτων,

χαίροις μυριὰς

τοῦ δήμου τῶν ἀγγέλων,

f. 58 χαίρετε πᾶ/σαι αἱ ἄνω χοροστασίαι,

αἱ λειτουργοῦσαι τὸν προπάντων Θεόν.

Ὦ χιλιοντὰς

πυρίνων στρατευμάτων,

θεοτ. γ΄ ed. in EV, p. 342; Τρεμπέλας Παν., p. 241; PKA I, p. 136; GE, p. 360; TV, p. 373; TR, p. 666; MR I, pp. 291-292; MR II, p. 264 **43** μῆτερ TR; ἀπείρανδρε MR II **44** Θεοτόκε Παρθένε PKA I **45** τῷ cod.**;** ἡμῶν deest in MR I heirm. δ΄ EE 229, n. 328, Germani

51 cf notationem ad v. 34

ὦ μυριοντὰς

πνευμάτων οὐρανίων,

ὦ τετραμόρφων σχημάτων ἀσχηματίστων,

ὑπὲρ τοῦ κόσμου ἱκετεύσατε.

Γέγονε, λοιπόν,

τὰ κάτω τοῖς ἄνω

μίξις ἀμιγὴς

ἀγγέλων καὶ ἀνθρώπων

τοῦ δι᾽ ἡμᾶς σαρκωθέντος, ἐπὶ τοῦ θρόνου

τοῦ πατρικοῦ ἀναγαγόντος ἡμᾶς.

Τριαδ. Ἄναρχον Θεὸν

ὑμνῶ σε τὸν Πατέρα,

ἄκτιστον Θεόν·

56 Εφρ., 3. 523 B: … σὲ ὑμνοῦσι … τὰ χερουβίμ, τετραμόρφοις ὀχούμενοι σεραφίμ …; Επιφ., PG 43, 496, 36-37: Λόγον, ὃν τὰ τετράμορφα ζῶα δοξολογοῦσι … (cf Apoc. 4, 6); cf Pseudo-Dionysius, p. 11, 11-12: … προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι καὶ τὰ σχήματα τῶν ἀσχηματίστων …

58-61 Επιφ., PG 43, 504, 19-21: … τὰ ἄνω καὶ κάτω ἀναμὶξ Χριστὸς πεποίηκε· τοῖς ἀσωμάτοις τοὺς χοϊκοὺς ἥνωσε …

62 τοῦ δι᾽ ἡμᾶς σαρκωθέντος: cf symbolum fidei **62-63** Matth. 25, 31-34

δοξάζω τὸν Υἱόν σου,

ζωοποιὸν καὶ Θεόν, τὸ Πνεῦμα κηρύττω,

ἕνα Θεὸν τὰ τρία φύσει τιμῶ.

Θεοτ. *Χαῖρε τοῦ Θεοῦ

εὐρύχωρον χωρίον,

χαῖρε κιβωτὲ

τῆς νέας διαθήκης,

χαῖρε ἡ στάμνος ἐξ ἧς τὸ μάνα ἐδόθη

πᾶσι βροτοῖς τὸ ἐπουράνιον.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε

Τῷ θρόνῳ παρεστῶτες τῆς δόξης σου,

ζωοδότα,

οἱ ἅγιοι ἄγγελοι

θεοτ. δ΄ ed. in PaR, p. 634; PaV, p. 311; TR, p. 91; TV, p. 53 **74** ἔγχρυσος στάμνος PaR; PaV; τὸ μάννα (sic.) ἐξ ἧς ἐδόθη TR; TV **74-75** πᾶσιν ἐδόθη PaR; PaV; βροτοῖς deest in ibid.; οὐράνιον PaR heirm. ε΄ EE 132, n. 183, Joannis

70-71 Ιω. Χρυσ., PG 50, 796, 5-6: … χαῖρε, τῆς ἀχωρήτου φύσεως χωρίον εὐρύχωρον …

72-75 Επιφ., PG 43, 489, 50 sqq: Χαῖρε … ἡ νοερὰ τῆς δόξης κιβωτός … ἡ στάμνος ἡ χρυσῆ, τὸ οὐράνιον ἔχουσα μάννα (sic.) … καὶ Θεὸν ἀχώρητον, ἐν σοὶ δὲ χωρητόν …

76 cf notationem ad v. 34

ἀκαταπαύστως ὑμνοῦσίν σε.

Ὡς φῶς λευχειμονοῦντες οἱ ἄγγελοι,

ἐν ὑψίστοις

τὸ πῦρ ἀπαστράπτουσιν

τῆς ἀπροσίτου λαμπρότητος.

Μιμούμενοι ἐν φόβῳ τὰ τάγματα

τῶν ἀγγέλων,

ὕμνον τὸν τρισάγιον

τῷ πάντων Κτίστῃ προσάξομεν./

f. 58 Τριαδ. Τριάδα ἐν μονάδι δοξάζομεν

ὀρθοδόξως

σὺν ἀγγέλοις κράζοντες·

80 λευσχημονοῦντες cod.

80 cf MV III p. 53; MR II, p. 78: …ὡς φῶς λευχειμονοῦντες ἐν ὑψίστοις τὸ πῦρ καταυγάζετε [cf A. Thom. A 6, 109, 8: … ἦ λειτουργούσαν λευχημονοῦντες ἄγγελοι …]

Ἅγιος, Ἅγιος, Ἅγιος.

Θεοτ. *Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,

Θεοτόκε,

σὺ γὰρ τὸν Θεὸν Λόγον

σαρκὶ τῷ κόσμῳ ἐκύησας.

Ὠδὴ στ΄. Χιτῶνά μοι παράσχου φωτεινόν

Ἀγγέλων ἀρχηγέτα Μιχαήλ,

Θεοῦ ἀρχιστράτηγε,

ἀπαύστως ἱκέτευε

δωρηθῆναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ἀγγέλων ταξιάρχα Γαβριήλ,

ἀπαύστως ἱκέτευε

Χριστὸν τὸν Θεὸν ἡμῶν

δωρηθῆναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Ἀγγέλων, Ἀρχαγγέλων στρατιαί,

θεοτ. ε΄ ed. in MR I, pp. 183, 242; III, p. 240; IV, p. 26; V, p. 329; VI, pp. 515, 520, 534, 545; PaR, p. 373; PaV, p. 183; PeR, pp. 317, 349; PeV, p. 167; TR, p. 207; TV, p. 114 **94** τὸν Λόγον καὶ Θεὸν PaV heirm. στ΄ EE 224, n. 321, Joannis

91 cf Is. 6, 3 **104 sqq** cf Eph. 1, 21; Col. 1, 16

Ἀρχαί, Κυριότητες,

ἀπαύστως δοξάζουσιν

τὸν τῶν ὅλων Ποιητὴν καὶ Θεὸν ἡμῶν.

Τὸν ὕμνον σοὶ προσάγειν καὶ ἡμεῖς

τολμῶμεν οἱ γήϊνοι,

φιλάνθρωπε Κύριε,

σὺν ἀγγέλοις μυστικῶς προσκυνοῦντές σε.

Θεοτ. *Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ

τὸν Λόγον κυήσασα,

ῥῦσαι δεόμεθα

τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ζ΄. Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμε<λιώσας>

Πνεῦμα καὶ πῦρ τελέσας τοὺς ἀγγέλους,

σοὶ τῷ Θεῷ λατρεύειν ἠρετίσω

ἐν τοῖς ὑψίστοις ἀκαταπαύστως,

τὸν τρισάγιον, Χριστέ, ὕμνον σοι κράζο<ν>τες./

θεοτ. στ΄ ed. in MR I, p. 183; III, pp. 241, 320; VI, pp. 391, 515, 535, 546; PaR, p. 652; PaV, p. 320

112 γαστρὶ MR III, p. 320; VI, p. 535 heirm. ζ΄ EE 226, n. 323, Germani

116 Ps. 103, 4

f. 59 Ὦ χιλιὰς ἀγγέλων μακαρίων,

ὦ μυριὰς ἁγίων ἀρχαγγέλων,

ὦ θεία τάξις τῶν ἀσωμάτων,

πρεσβεύσατε ἐκ κινδύνων σωθῆναι πάντας ἡμᾶς.

Σὺ ἐντελεῖς σωτὴρ τοῖς σοῖς ἀγγέλοις,

διὰ παντὸς ἡμῶν διαφυλάττειν

ὁδοὺς καὶ τρίβους τοῦ μὴ προσκόπτειν

πρὸς λίθον πλάνης τὸν πόδα, καθὼς ψάλλει Δαυΐδ.

Ἐπὶ χειρῶν ἀροῦσιν τοὺς δικαίους

οἱ παρά σου στελλόμενοι, σωτήρ μου,

εἰς σωτηρίαν τῶν κληρονόμων

τῆς βασιλείας τῆς σῆς ἅγιοι ἄγγελοι.

Θεοτ. *Ὁ ἐν γαστρὶ τῆς Παρθένου οἰκήσας

καὶ ἐν αὐτῇ τὸν Ἀδὰμ ἀναπλάσας,

εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,

θεοτ. ζ΄ ed. in MR V, p. 116**;** MR V, p. 116 **134** scr. εἰς τοὺς (metri causa): στοὺς cod.

132-133 cf Γρ. Θαυμ., PG 10, 1152, 29-30: … καὶ ἐν τῇ ἁγίᾳ σου γαστρὶ τὸν Ἀδὰμ ἀναπλάσαντα …

126 cf Ps. 24, 4 **127-131** cf Ps. 90, 11-12; Matth. 13, 41-43

<Κύριε, ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν>.

Ὠδὴ η΄. Τὸν τοῦ παντὸς δημιουργόν

Τῶν ἀσωμάτων ἡ πληθὺς

ἀνυμνεῖ καὶ προσκυνεῖ

καὶ εὐφημεῖ σὺν ἡμῖν τοῖς ἀνθρώποις

Θεὸν τὸν ἐν Τριάδι, εἰς πάντας τοὺς αἰῶνας.

Τὰ χερουβὶμ καὶ σεραφίμ,

τὰ τετράμορφά σου ζῷα,

σὺν ἡμῖν ἀνυμνοῦσίν σε, Πάτερ, Υἱὲ

καὶ Θεῖον Πνεῦμα, εἰς πάντας τοὺς αἰῶνας.

Ὃν πάλαι εἶδεν Δανιὴλ

ἐπὶ θρόνου, παλαιὸν

τῶν ἡμερῶν, μυριάσιν ἀγγέλων

κυκλούμενον, ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

heirm. η΄ EE 205, n. 291 Andreae

140-141 cf notationem ad v. 56

144-146 cf notationem ad v. 34

Τριαδ. Τριὰς ἀμέριστε, μονὰς

τρισυπόστατε, ὁμότιμε

Θεέ, ἀκατάληπτε Πάτερ, Υἱὲ

f. 59^{v} καὶ θεῖον πνεῦμα,/ ὑμνῶ σέ εἰς αἰῶνας.

Θεοτ. *Τὸν ἐπ᾽ ἐσχάτων δι᾽ ἡμᾶς

ἐκ Παρθένου σαρκωθέντα Θεὸν

ἱερεῖς εὐλ(ογεῖτε),

λα(ὸς) ὑπ(ερυψοῦτε) <αὐτὸν εἰς τοὺς αἰῶνας>.

Ὠδὴ θ΄. Τὸν προδηλωθέντα ἐν ὄρει

Ἄγγελοι, Ἀρχάγγελοι, Ἀρχαὶ

καὶ Ἐξουσίαι,

Θρόνοι, Κυριότητες

καὶ πᾶσαι αἱ Δυνάμεις,

Χερουβίμ τε καὶ Σεραφὶμ ἀσιγήτως

σὲ ὑμνολογοῦσιν, τὸν ἐν πᾶσι Θεόν.

Ἄγγελοι, Ἀρχάγγελοι,

θεοτ η΄ ed. in Pent ^{II} λς΄ **153** σαρκωθέντα ἐκ τῆς ἁγίας Παρθένου ibid. **154** ὑμνεῖτε ibid. heirm. θ΄ EE 226, n. 324 Germani

154-155 cf Dan. 3, 83 **156 sqq** cf notationem ad vv 104 sqq

οἱ τῷ θρόνῳ Κυρίου

παρεστῶτες πάντοτε

καὶ τὴν δόξαν ἐκείνην

θεωροῦντες κεκαλυμμένοις προσώποις,

αὐτὸν ἱκετεύσατε σωθῆναι ἡμᾶς.

Σοὶ τῇ ἀπροσίτῳ

καὶ ἀπορρήτῳ Τριάδι

παρεστῶτες ἄγγελοι,

μετὰ φόβου καὶ τρόμου

ἐπινίκιον ἀναπέμπουσιν

ὕμνον τῷ προσκυνουμένῳ εἰς αἰῶνας Θεῷ.

Χείλεσιν πυρίνοις καὶ στόμασιν

φλογοφόροις

οἱ ἀσώματοι ἄγγελοι,

κύκλῳ σοὶ παρεστῶτες,

τὸν τρισάγιον ἀναπέμπουσιν ὕμνον·

Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

174 cf notationes ad vv 30-33

163-164 cf notationem ad v. 34 **166** cf Is. 6, 2 **179** cf notationem ad v. 91

Θεοτ. *Σὺ εἶ, Θεοτόκε, τὰ ὅπλα

ἡμῶν καὶ τεῖχος,

σὺ εἶ ἡ ἀντίληψις

τῶν εἰς σὲ προστρεχόντων,

σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,

ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

θεοτ θ´ ed. in MR II, p. 270; III, p. 325; VI, p. 394; TR, pp. 260, 306; TV, pp. 152, 178; An Λς´

Sinait. gr. 669, ff. 46^{v}-53^{v}

Μηνὶ Νοεμβρίῳ η΄. Ἡ σύναξις τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ τῶν λοιπῶν ἀσωμάτων/

f. 47 **Ὁ κανών**

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Τμηθ(είσῃ) τμᾶται

Ἀγαθοδότως

καὶ θεοπρεπῶς

ἡ ὄντως ἄπειρος σοφία τοῦ Θεοῦ

ὑπεστήσατο ἀγγέλων στρατιὰς Τριάδος

τῆς φρικτῆς λειτουργοὺς

ἀΰλους καὶ νοεροὺς μεθ᾽ ὧν κράζομεν

ἐνδόξως· δεδόξασται

Χριστός, ὁ Θεὸς ἡμῶν./

f. 47^{v} Συντονωτάτῃ

νεύσει πρὸς Θεὸν

heirm. α΄ EE 162, n. 229, Cosmae

5 ἀΰλους καὶ λειτουργοὺς scr. cod. deinde cancell.

1 Pseudo-Dionysius, p. 7, 4-6: … καὶ πᾶσα Πατροκινήτου φωτοφανείας πρόοδος, εἰς ἡμᾶς ἀγαθοδότως φοιτῶσα πάλιν ὡς ἑνοποιὸς δύναμις ἀνατατικῶς ἡμᾶς ἀναπλοῖ …

4-5 Ps. 102, 21; 103, 4

σαφῶς, πρωτάγγελε Θεοῦ, σὲ Μιχαήλ,

ἐν μεθέξει δὲ τοῦ πρώτου ἀΰλου φωτὸς

ὁρᾶσαι δεύτερον φῶς

ὡς πῦρ καὶ πνεῦμα καὶ φλὸξ μέλπων ἄπαυστα·

ἐνδόξως δεδόξασται

Χριστός, ὁ Θεὸς ἡμῶν.

Ἡ πανολβία

καὶ παρεκτική,

τῶν σῶν ἡ ἄπειρος θαυμάτων δωρεὰ

καὶ τεράτων ἐξαισίων λαμπρύνει λαούς,

κροτεῖν καὶ μέλπειν τρανῶς,

φαιδρότατε, Μιχαὴλ ἀρχιστράτηγε·

ἐνδόξως δεδόξασται

Χριστός, ὁ Θεὸς ἡμῶν.

12-13 Γρ. Ναζ., PG 36, 364, 21-26: Φῶς δὲ λέγω, τὸ ἐν Πατρί, καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρούμενον … Δεύτερον δὲ φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀποῤῥοή τις, ἢ μετουσία, τῇ πρὸς αὐτὸ νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα …; cf AASS VIII, p. 42: … καὶ ὅτι δεύτερα φῶτα αὐτοῦ μεθέξει τοῦ πρώτου φωτός, χρηματίζουσι …

17 Pseudo-Dionysius, p. 53, 2: … ἐν πάσαις ταῖς πανολβίαις ἑαυτοῦ μεταδόσεσι …

19-20 HL, p. 19: … ὡς τέρατα καὶ θαύματα κηρύττειν σου τοῖς πᾶσιν …

14 Ps. 103, 4

Θεοτ. Ὑψηλοτέρα

πάντων ἀληθῶς

τῶν ποιημάτων ὤφθης, Ἄχραντε, σεμνή,

ὡς τεκοῦσα, Θεομῆτορ, σοφίαν Θεοῦ/

f. 48 ποιητικὴν τοῦ παντός·

ἐκ σοῦ γὰρ σωματωθεὶς ὑπὲρ ἔννοιαν

ἐνδόξως δεδόξασται

Χριστός, ὁ Θεὸς ἡμῶν.

Ὠδὴ γ΄. Κύριος ὢν πάντων καὶ κτίστης Θεός

Ῥεύσαντας ἡμᾶς

τῆς ἀρρήτου δόξης

καὶ τῆς κρείττονος ζωῆς,

πεσόντας ἐκ παραβάσεως,

οὐ παρεῖδες ὁ φύσει οἰκτίρμων,

ἀλλ᾽ ἦλθες καὶ ἔσωσας, προστήσας

ἄγγελον εἰρήνης φύλακα

ἑκάστῃ ψυχῇ, Φιλάνθρωπε.

heirm. γ΄ EE 162, n. 229, Theophanis

39-40 Gen. 3, 24; Ps. 33, 8; 90, 11

Ἄρχων πασῶν

τῶν οὐρανίων, μάκαρ,

στρατιῶν ὑπὸ Θεοῦ

ἐτάχθης, Μιχαὴλ ἔνδοξε,

προμηθεὺς καὶ συλλήπτωρ καὶ φύλαξ

τῶν σοὶ ἐκβοώντων· Ταξιάρχα,

σκέπασον ἡμᾶς, ἀρχάγγελε,

f. 48^{v} τῇ/ σκέπῃ νῦν τῶν πτερύγων σου.

Φαίδρυνον ἡμῶν

τὰς ψυχὰς καὶ τὸν νοῦν,

ἀγαλλίασιν ἡμῖν

παρέχων τοῦ σωτηρίου σου

καὶ ἀπολύτρωσιν, Μιχαήλ,

ἐν τῷ θείῳ σου οἴκῳ ὀρθρίζουσι

πίστει καὶ ὑμνοῦσιν ἄσμασι,

Θεοῦ ἀρχάγγελε, Τριάδα τὴν ὑπεράρχιον.

Θεοτ. Κύριος ὢν πάντων

καὶ Κτίστης Θεός,

τὸ ἡμέτερον πτωχεύσας

41-43 Dan. 10, 13; 10, 21 **47-48** cf Ps. 16, 8 **59 sqq** Ps. 111, 3; 111, 8-9

ὅλον ἐκ σοῦ, Πανάχραντε,

τὸ Αὐτοῦ ἐδωρήσατο πλῆρες

ἡμῖν ὁ Χριστὸς τοῖς ἀνυμνοῦσι

σάρκωσιν Αὐτοῦ τὴν ἄφραστον,

ἐν ᾗπερ ἐστερεώθημεν.

Ὠδὴ δ΄. Προκατιδὼν ὁ Προφήτης

Ἱερουργεῖται τὸ λύτρον

τῆς ἐξ Ἀδὰμ ἐκ θείας χρηστότητος/

f. 49 καὶ σπλάγχνων σωτηρίων σου,

δέσποτα Χριστέ,

συνῆψας γὰρ ἀγγέλοις

γένος ἀνθρώπων,

τὸν Μονογενῆ καὶ γὰρ σὲ ἱλασμὸν

ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλεν.

heirm. δ΄ EE 163, n. 229, Theophanis

65-66 Αθ. Αλεξ., PG 28, 228, 50-56: Ἔπεισε γὰρ τοὺς Ἰουδαίους εἰς σφαγὴν αὐτὸν αἰτήσασθαι … ἐσφάγη γὰρ οὐκ εἰς ἄλλο μέρος, ἀλλ᾽ εἰς τὴν πλευράν, ἀφ᾽ ἧς ἐῤῥευσεν ὕδωρ καὶ αἷμα· ἵνα, ἐπειδὴ πρότερον διὰ τῆς ἐκ πλευρᾶς πλασθείσης γυναικὸς ἦλθεν ἀπάτη, οὕτως διὰ τῆς πλευρὰς τοῦ δευτέρου Ἀδὰμ λύτρον …

71 τὸν Μονογενῆ: cf symbolum fidei; Ps. 129, 4; I Jo. 2, 2

Ὑπὸ τῆς ἄγαν κακίας

ὁ δυσμενὴς Θεοῦ πόρρω βέβληται,

σατᾶν ὁ ὑπερήφανος,

ἔνθεν τὸν Ἀδὰμ

θεώσεως ἐλπίδι

εἵ<λ>κυσε δόλῳ,

σὺ δὲ προεστήσω, δέσποτα, φρουρὸν

τῷ Ἀδάμ, Μιχαὴλ τὸν ἀσώματον.

Ἐν παρρησίᾳ μεγίστῃ

παρεστηκὼς τῷ θρόνῳ, πρωτάγγελε,

Θεοῦ τοῦ παντοκράτορος,

τάχος ἀστραπῆς

τὴν σύμπασαν διέρχῃ

λάμπων, φωτίζων

f. 49^{v} καὶ τὰς θεϊκὰς προσνέ/μων τοῖς βροτοῖς

προσταγάς, Μιχαὴλ φωταυγέστατε.

73 Ωρ., PG 17, 292, 44-46: Τοῖς δὲ ἄγαν πονηροῖς, διὰ τὸ ἀνενδότως ἁμαρτάνειν τρόπον τινὰ φύσις αὐτοῖς ἡ κακία γίνεται· οἷος ἐστιν ὁ σατανᾶς καὶ οἱ δαίμονες …

75 Gen. 3, 14 **78** Gen. 3, 5 **79-80** Gen. 3, 24 **82** Apoc. 5, 11; Dan. 7, 10 **84** Dan. 10, 6

Θεοτ. Θαῦμα φρικτόν, Θεοτόκε,

ὅτι γεγέννηκας ὕπὲρ ἔννοιαν

Θεὸν τὸν ὑπερτέλειον,

φύσεις μὲν διπλᾶς,

ὑπόστασιν δὲ μίαν

φέροντα θείαν,

ὅθεν ὑπερτέρα πέφηνας, Ἁγνή,

τῶν ἀγγέλων καὶ πάσης τῆς κτίσεως.

Ὠδὴ ε΄. Τῷ συνδέσμῳ τῆς ἀγάπης

Ὁ τὸ ἄσχετον ἀρρήτως

καὶ ἀπρόσιτον τῆς θεότητός σου

φῶς ἀστράπτων ταῖς ἀΰλοις

τῶν ἀγγέλων τάξεσι, Δέσποτα,

κἀμοῦ τὰς φρένας πλῆσον ἀδύτου φέγγους,

φάους πόρρωθεν τὴν ἄγνοιαν, Σῶτερ, διώκων.

heirm. ε΄ EE 163, n. 229, Theophanis

91 Λέων Βυζ., PG 86, 1408, 22-23: … τόδε τὸ ἀμερῶς ὑπερτέλειον Θεῖον ὅλον …

97 Γρ. Ναζ., PG 36, 649, 2-6: … εἰ μή τῳ φίλον, τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεσταλμένον, οὕτω παραδηλοῦσθαι, καθὸ καὶ φῶς ἀναβάλλεται, ὡς ἱμάτιον. Τὸ γὰρ ἄσχετον αὐτοῦ τῆς δυνάμεως καὶ τοῦ φωτὸς τίς ὑποστήσεται;

Βαλαάμ, ὁ συναντήσας,

ἀρχιστράτηγε, καὶ θροήσας τοῦτον

καὶ δι᾽ ὄνου τὰ χρειώδη

f. 50 ὑποθεὶς τῇ γλώσσῃ/ τοῦ μάντεως,

κἀμοὶ παράσχου ὕμνους ἐξ ὕμνων

πλέκειν, οἷς Θεὸς χαρίζεται λύσιν πταισμάτων.

Μανωὲ τῷ θαυμασίῳ

καὶ Τωβὶτ τῷ θείῳ ὤφθησαν ἄγγελοι,

Δανιὴλ δὲ τῷ πανσόφῳ,

Γαβριὴλ ὁ μέγας ἀρχάγγελος,

τῶν παίδων αὖθις φλόγα πυρὸς καμίνου

Μιχαὴλ ὁ πάμφωτος πάλαι δροσίζει.

Θεοτ. Ἡ τὸ ἄστεκτον κρατοῦσα

καὶ ὑπέρλαμπρον ἐν χερσί σου, Κόρη,

πῦρ καὶ φῶς ἀρρήτῳ λόγῳ

τῆς θεότητος, Μητροπάρθενε,

κατάφλεξόν μου πάθη ὡς ὕλην χόρτου,

103-106 Num. 22, 7; 22, 21-38 **109** Jud. 13, 3 **110** Tob. 5, 4 **111** Dan. 10, 13 **112** Dan. 8, 16-17; 9, 21 **113-114** Dan. 3, 49-50 **119** cf Is. 10, 17

φῶς δὲ τῇ καρδίᾳ μου λάμψον ἐνθέως.

Ὠδὴ στ΄. Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων

Λύτρωσιν ἀπέστειλας

f. 50^{v} τῷ λαῷ σου, οἰ/κτῖρμον Πάτερ,

τὸν συνάναρχον καὶ σύνθρονόν σου

Υἱόν, δι᾽ οὗ τοὺς αἰῶνας εἰργάσω

ἐν τῷ Θείῳ σου Πνεύματι.

Ῥύστην σε τοῦ γένους

τοῦ βροτησίου, Χριστέ, ὁ δῆμος

τῶν ἀγγέλων, ἐγνωκώς, ἀνυμνεῖ

τὴν εἰς ἡμᾶς γενομένην φρικτήν σου

εὐσπλαχνίαν, φιλάνθρωπε.

Πράξεσι κομῶντες

θεοτερπέσι, τοὺς θείους δεῦτε,

Μιχαὴλ καὶ Γαβριήλ, ἐξάρχους

τῶν οὐρανίων ταγμάτων καὶ φύλακας

ἡμῶν, εὐφημήσωμεν.

heirm. στ΄ EE 163, n. 229, Theophanis

120 II Cor. 4, 6

Ῥίπτεται τῷ ἄνθρακι

τῆς σεραφικῆς λαβίδος

ὁ Προφήτης Ἡσαΐας πάλαι,

τοὺς ἀρχαγγέλους δὲ ἄλλος ἑώρα

ἠλεκτρίνους θεόληπτος.

Θεοτ. Φρίττουσι, Παρθένε

f. 51 Θεοκυῆτορ, τὸν/ ἄχραντόν σου

καὶ ἀπόρρητον καὶ θεῖον τόκον

ἀγγέλων πάντων αἱ τάξεις, μεθ' ὧν

ὑπὲρ τῶν δούλων σου πρέσβευε.

Ὠδὴ ζ΄. Οἱ παῖδες ἐν Βαβυλῶνι

Γνωρίσαι θέλων, οἰκτῖρμον,

τόν τε χρηστότητος πλοῦτόν σου

ἐκ μὴ ὄντων, Χριστέ, τὰς ἀγγέλων

μυριάδας παρήγαγες

heirm. ζ΄ EE 163, n. 229, Theophanis

136-138 Is. 6, 6 **139-140** Ez. 1, 4; 1, 27; 8, 2

καὶ πᾶσαν ὑπερκόσμιον

καὶ ἐγκόσμιον ποίησιν.

Δυνάμεις θεῖαι καὶ Θρόνοι,

Ἀρχαί, Ἀρχάγγελοι, Ἄγγελοι,

Χερουβίμ, Σεραφίμ, Ἐξουσίαι

καὶ σεπταὶ Κυριότητες

ὕμνον ἀπαύστως ᾄδουσι

τῷ Θεῷ, τῶν Πατέρων ἡμῶν.

Ναμάτων δῶρον ἁπάντων

ὑπάρχει μεῖζον, πρωτάγγελε

Μιχαήλ, τὸ ἐν Χώναις τῷ ναῷ σου

f. 51^{v} πεφυκὸς ὕδωρ/ ἅγιον,

ἀφ᾽ οὗ ψυχῶν ἰάματα

καὶ σωμάτων λαμβάνομεν.

Θεοτ. Ζωῆς ὡς μήτηρ τῆς ὄντως

157 τῇ τρισαγίᾳ θεότητι post ἡμῶν metri causa del. cod. θεοτ. ζ΄ in mg sin. add.

160-163 AASS VIII, p. 43: … ἐπισκιαζούσης ἐκεῖσε καὶ θείας χάριτος πρότερον, ταῖς τοῦ Μεγάλου Ἀρχιστρατήγου Μιχαὴλ ἐντεύξεσι καὶ πρεσβείαις ... οἱ δὲ πηγὴν ὕδατος, οὐ σώμασι μόνον, ἀλλὰ καὶ ψυχαῖς τὰς ἰάσεις βλυστάνοντος, δι᾽ εὐχῆς ἀπειργάσοντο, ἔνθα καὶ τέμενος τοῦ ἀρχαγγέλου ἵδρυτο …

150-151 Ps. 145, 6 **152-155** Eph. 1, 21; Col. 1, 16 **156** Is. 6,2-3

ἐνυποστάτου, Πανάμωμε,

νεκρωθέντας ἡμᾶς ἁμαρτίαις,

ζωοποίησον κράζοντας·

εὐλογημένος, Πάναγνε,

ὁ καρπὸς τῆς σῆς κοιλίας σου.

Ὠδὴ η΄. Νόμων πατρῴων

Μυσταγωγεῖται ὑπὲρ ἔννοιαν

ἡ τῶν ἀγγέλων πᾶσα πληθὺς ἡ ἄπειρος,

τὰ τῆς σῆς, Χριστέ, μυστήρια

φρικτῆς οἰκονομίας

τῆς ἐκ Παρθένου, δεύτεραι λαμπρότητες καὶ γὰρ

λειτουργοὶ τῆς λαμπρότητος

τῆς πρώτης ἀσυγκρίτως

ὑπέστησαν δυνάμεις αἱ πᾶσαι

τῶν ἐπουρανίων

μεθ’ ὧν σὲ προσκυνοῦμεν.

heirm. η΄ EE 163, n. 229, Theophanis

166-167 Ιω., Χρυσ., PG 48, 928, 53-58: Οὐ γὰρ φύσεως οὗτος ὁ θάνατος, καθάπερ ἐκεῖνος, ἀλλὰ προαιρέσεως καὶ γνώμης· προαίρεσιν δὲ ἀποθανοῦσαν δυνατὸν ἀναστῆσαι πάλιν, καὶ ψυχὴν νεκρωθεῖσαν πεῖσαι πρὸς τὴν οἰκείαν ζωὴν ἐπανελθεῖν, καὶ τὸν αὐτῆς ἐπιγνῶναι Δεσπότην …

166 Ez. 18, 4 **174** cf notationem ad vv 12-13

Ψαλμοῖς καὶ ὕμνοις ἐκθειάσωμεν

τοὺς ἀρχηγοὺς τῶν ἄνω ἀΰλων τάξεων,

Μιχαὴλ τὸν ὑπερένδοξον

καὶ Γαβριὴλ τὸν θεῖον,

χαρᾶς γὰρ οὗτος φέρων εὐαγγέλια τρανῶς

f. 52 τῇ ἁγνῇ/ Θεομήτορι,

ἐβόησε τὸ Χαῖρε,

ἐξ ἧς Θεός, τεχθεὶς ἀπορρήτως,

σώζει τοὺς ὑμνοῦντας

Αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου

τοὺς ἐν τῷ θείῳ τούτῳ ναῷ σου ψάλλοντας,

Μιχαήλ, Θεοῦ ἀρχάγγελε,

σκέπε, φύλαττε, φρούρει

καὶ ἐν ἡμέρᾳ πρόστηθι ἡμῶν τῶν εὐτελῶν

τῆς δευτέρας ἐλεύσεως

τῆς δόξης τοῦ Κυρίου,

ᾧ πρέπει σὺν Πατρὶ καὶ τῷ Θείῳ σου

Πνεύματι ἀπαύστως

δόξα, τιμὴ καὶ κράτος.

199 τιμὴ supra lineam scr. cod.

184 Luc. 2, 10 **186** Luc. 1, 28 **190** cf notationem ad vv 47-48

Θρόνῳ τῷ θείῳ παριστάμενος

καὶ ταῖς ἐκεῖθεν ὅλως καταλαμπόμενος,

ἀστραπαῖς καλυβόμενος,

Μιχαὴλ ταξιάρχα,

ταῖς ἐκκλησίαις βράβευσον εἰρήνην καὶ ἡμῖν

f. 52^{v} σωτηρίαν, πα/νόλβιε

ἀρχάγγελε Κυρίου,

καὶ νίκας βασιλεῖ σταυροφόρῳ,

τῷ ὑπερυψοῦντι

Χριστὸν εἰς τοὺς αἰῶ(νας).

Θεοτ. Ξένον ὑπάρχει καὶ ἀπόρρητον

τὸ ὑπὲρ νοῦν σου θαῦμα, Θεογεννήτρια,

τὸ γὰρ πῦρ τὸ τῆς θεότητος

ἐν μήτρᾳ συλλαβοῦσα,

οὐ κατεφλέχθης, ὥσπερ ὤφθη πάλαι ἡ βάτος

καιομένη, Πανάχραντε,

καὶ μὴ φλογιζομένη,

διό σε Θεοτόκον κυρίως

201 cf MV III, p. 53; MR II, p. 78: Τῆς ἡλιακῆς ἀκτῖνος τοῦ θείου φωτὸς καταλαμπόμενοι Ἀρχιστράτηγοι …

213-215 Ex. 3, 2-3

καθομολογοῦμεν

καὶ γλώσσῃ καὶ καρδίᾳ.

Ὠδὴ θ΄. Ξενίας δεσποτικῆς

Τάξεως ἀγγελικῆς

πρωτεύειν πάσης ἐν Θεῷ

καὶ στρατηγεῖν προήχθης

προστάξει θεϊκῇ,

ὦ Μιχαὴλ ὑπερένδοξε,

μεθ᾽ ἧς ἀκαταπαύστως ᾄδεις,

παρεστὼς τῇ Τριάδι,

f. 53 ὕ/μνον τρισάγιον.

Ὡς ὄντως ὑπερφερὴς

τοῦ σοῦ ναοῦ ἡ φαιδρότης,

ἐν ᾧ συναθροισθέντες

πανηγυρίζομεν,

οἷς ἐπιφοιτῶν, πρωτάγγελε,

τὸ θεῖον ἐγκαινίζεις πνεῦμα,

heirm. θ΄ EE 163, n. 229, Theophanis **221** Θεοῦ cod.

219 Ps. 14, 2-3; 44, 2

Μιχαήλ, καὶ βραβεύεις

πταισμάτων ἄφεσιν.

Ἡμέραν ἄγει λαμπρὰν

ἡ τοῦ Χριστοῦ Ἐκκλησία

τῇ ἑορτῇ σου ταύτῃ,

προστάτα Μιχαήλ,

μέγιστε Θεοῦ ἀρχάγγελε,

ἐν ᾗ τοὺς ὑμνοῦντάς σε δούλους

ἐποπτεύων φυλάττεις

ἐξ ὕψους ἵλεως.

Ἄγγελοι φωτοειδεῖς,

θεολαμπεῖς Ἀρχάγγελοί

τε καὶ Θρόνοι, Δυνάμεις,

Ἐξουσίαι, Ἀρχαὶ

καὶ Χερουβίμ, Σεραφὶμ καὶ Κυριότητες,

f. 53^{v} εἰρή/νην ἐκ Θεοῦ τῷ κόσμῳ

μετ᾽ αὐτῆς Θεοτόκου

καθικετεύσατε.

244 sqq cf notationem ad vv 152-155

Χερουβικῶς τὴν φρικτὴν

καὶ πανάγιον Τριάδαν

ὑμνήσωμεν, βοῶντες·

Ἅγιος, Ἅγιος,

Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν,

Πάτερ, Υἱὲ καὶ Θεῖον Πνεῦμα,

μία δόξα καὶ φύσις,

μία προσκύνησις.

Θεοτ. Λυτρούμενος, Παρθένε,

ἐκ πλάνης πάντα τὸν κόσμον

ὁ τοῦ Πατρὸς ἰσόχειρ,

νηδύος ἐκ τῆς σῆς

τίκτεται Θεὸς καὶ ἄνθρωπος,

ἵνα βροτοὺς θεώσῃ πάντας,

ὃν ἀεὶ ἐκδυσώπει

ὑπὲρ τῶν δούλων σου.

255-256 cf Is. 6, 3 **261** Jo. 10, 27-30

Sinait. gr. 669, ff. 25-39

Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς:

Ἀρχιστράτηγε, τήνδε τὴν ᾠδὴν δέχου, Ἰωσήφ

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ

Ἀρχηγὲ τῶν θείων λειτουργῶν,

θρόνῳ παριστάμενος

τῷ φοβερῷ καὶ ταῖς ἐκεῖθεν λάμψεσιν

περιαστραπτόμενος

καὶ θεούμενος κατὰ μέθεξιν ἄϋλον,

f. 25^{v} τοὺς ἐπὶ τῆς/ γῆς σε πίστει

δυσωποῦντας διαφύλαξον.

Ῥητορεῦον στόμα οὐδαμῶς

δύναται, πρωτάγγελε,

σοῦ τὰ σεπτὰ ἐκδιηγεῖσθαι θαύματα,

πρὸς Θεὸν γὰρ δέδοσαι

καὶ βοήθεια τοῖς πιστοῖς καὶ κραταίωμα,

λύων πᾶσαν νόσον, εἴργων

τῶν δαιμόνων ἐπιθέσεσιν.

---

nomen hymnographi Ἰωσήφ in nonae odae deducitur heirm. α΄ EE 34, n. 46, Joannis incipit ed. in EPh 38 (1939), p. 168 (e cod. Athous Lavrae B6, f. 12^{v})

13-14 Ps. 102, 3

Χαρισμάτων δέδεικται πηγή,

ὄντως ἀρχιστράτηγε,

ὁ σὸς ναός, θαύματα ὥσπερ νάματα

βρύων τοῖς ἐκ πίστεως

καταφεύγουσιν εἰς αὐτὸν καὶ τιμῶσί σε

ὡς καλὸν προστάτην,

ὡς τῆς οἰκουμένης ἐγκαλλώπισμα.

Θεοτ. Ἰσχυρὰν παράκλησιν, Ἁγνή,

ἔχοντες τὴν σκέπην σου

οἱ διὰ σοῦ τῶν δυσχερῶν λυτρούμενοι,

f. 26 Χαῖρε, σοὶ/ κραυγάζομεν,

ἡ θεώσασα τὸ ἀνθρώπινον φύραμα,

μόνη Θεοτόκε, θείῳ

τοκετῷ σου, Παναμώμητε.

22 cf Heb. 6, 18

f. 27 **Ὠδὴ γ΄./ Ἐν πέτρᾳ με τῆς πίστεως**

Στησώμεθα χορείαν, ἀνευφημοῦντες
τὸν πρῶτον τῶν ἀγγέλων μεγαλοφώνως,
φαιδρὸς καὶ παριστάμενος τῷ Δεσπότῃ,
αἰτεῖται πάντοτε ἡμῖν συγχώρησιν,
δυσχερῶν παντοίων τε ἀπολύτρωσιν.

Τὰ τραύματα θεράπευσον τῆς ψυχῆς μου,
τὸν νοῦν μου, σκοτιζόμενον ἀμελείᾳ,
γνησίας μετανοίας ταῖς λαμπηδόσι
λάμπρυνον, δέομαι, καὶ σκότους ῥῦσαί με
αἰωνίου, δέομαι, ἀρχιστράτηγε.

Ἀπόστρεψον τῇ θείᾳ σου παρουσίᾳ
δικαίαν κινουμένην ὀργὴν τοῦ Κτίστου
καὶ λύτρωσαι τοὺς δούλους σου πάσης βλάβης
καὶ σῶζε πάντοτε λαόν, τῇ σκέπῃ σου
f. 27 [v] εὐσεβῶς προστρέχοντα,/ ἀρχιστράτηγε.

heirm. γ΄ EE 38, n. 51, Cosmae **37-38** καὶ σκότους~δέομαι in mg dext. add. cod.

Θεοτ. Τὴν μόνην τῶν ἀγγέλων τιμιωτέραν,

ὡς οὖσαν τοῦ Δεσπότου ἁγνὴν Μητέρα,

τιμήσωμεν αἰνέσεως συμφωνίαν,

δι᾽ ἧς σωζόμεθα παθῶν καὶ θλίψεων

καὶ δεσμῶν ἑκάστοτε περιστάσεων.

f. 29 **Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου**

Ἡ χάρις σου, Μιχαήλ,

ἐν τῷ θείῳ τεμένει σου,

ὡς ἥλιος φαίνουσα,

σκότους, παθῶν τε καὶ θλίψεων

καὶ τῶν περιστάσεων

τῶν πολυτρόπων/

f. 29^{v} σκεδάζει θείῳ νεύματι.

Γενόμενος ἀρχηγὸς

τῶν ἀγγέλων ἐν πνεύματι,

Ἀρχῶν ἐναντίων με

heirm. δ΄ EE 34, n. 46, Joannis

52 Eph. 6, 12

Ἐξουσιῶν τε περίσωζε

βλάβης, ἀρχιστράτηγε,

τῇ σωτηρίᾳ σου

σκέπῃ καταφεύγοντα.

Ἐκ λύπης με καὶ ὀδύνης

καὶ βλάβης καὶ θλίψεως

ἐχθρῶν ἀοράτων τε

καὶ ὁρωμένων περίσωζε

ὅπως μακαρίζω σε

ὡς ἀγαθόν μου

προστάτην, ὦ ἀρχάγγελε.

Θεοτ. Τὸν κλίνοντα οὐρανοὺς

καὶ ἀνθρώπους θεώσαντα

μεθέξει, Πανάμωμε,

τοῦ ἀνθρωπίνου φυράματος

αἴτησαι τοῦ σώζεσθαι

ἁμαρτιῶν

καὶ κινδύνων τοὺς οἰκέτας σου.

70 Ps. 143, 5

f. 30^{v} **Ὠδὴ ε΄. Ὁ φωτισμός**

Ἡ θεαυγὴς

καὶ φλογώδης σου θέα,

ὑπὲρ ἡλίου

φαίνουσα, ἀκτῖνας φωτίζει κόσμον

καὶ καταφλέγει

τὰς ζοφώδεις δαιμόνων

καθ᾽ ἑκάστην φάλαγγας, ἔνδοξε,

νέφη τε σκεδάζει

δεινῶν περιστάσεων.

Νέον λαὸν

διασώζεις, ὡς πάλαι

τῶν Ἰουδαίων,

εἴργων τῶν βαρβάρων δεινὰς ἐφόδους,

f. 31 Μιχα/ήλ, πάντων,

ὁδηγέ, τῶν ἀγγέλων,

ἐκκλησίας τὸ περιτείχισμα

καὶ τῶν εὐσεβῶν

heirm. ε΄ EE 34, n. 46, Joannis

86-89 Ex. 13, 21; 23, 20; 32, 34

ἀληθῶς τὸ κραταίωμα.

Δημαγωγὲ
τῶν ἀΰλων ἀγγέλων,
τῷ θείῳ θρόνῳ
χαίρων παριστάμενος, τῇ Τριάδι
ταύτην δυσώπει
συμφορῶν καὶ παντοίων
ἐκ κινδύνων καὶ περιστάσεων
καὶ παρανομούντων
ἐχθρῶν διασώζεσθαι.

Θεοτ. Ἐπὶ τῆς γῆς
ἀόρατος ὤφθη καὶ
ἐσαρκώθη σοῦ
ἐκ τῶν παναγίων ὁ τοὺς ἀγγέλους
πυρὸς φλόγα
ποιήσας, Παναγία,
ὃν καθικέτευε
διαιωνιζούσης
ἡμᾶς φλογὸς ῥύσασθαι.

107-109 Ps. 103, 4

f. 32 **Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων**

Τῇ ἀΰλῳ μεθέξει θεούμενος

f. 32[v] τοῦ δι᾽ εὐσπλαγχνίαν ἡμῖν ὁμιλή/σαντος,

φωτιστικαῖς σου λάμψεσι

φωταγώγησον πάντας, ἀρχάγγελε.

Ῥοῇ τῶν δυσμενῶν ἡμᾶς λύτρωσαι

καὶ τῶν ὁρωμένων, Θεοῦ ἀρχιστράτηγε,

τοὺς σὲ προστάτην πάντοτε

ἀγαθὸν πρὸς Θεὸν εὐμοιρήσαντας.

Θεοτ. Ὡς Θεοῦ καθαρὸν ἐνδιαίτημα

καὶ ἁμαρτανόντων ἀνθρώπων ἐξίλασμα

καὶ τῶν ἀγγέλων καύχημα,

οἱ πιστοί σε, Παρθένε, γεραίρομεν.

heirm. στ΄ EE 34, n. 46, Joannis

115 Pseudo-Dionysius p. 27, 19: … ἀεὶ φωτοειδῆ καὶ φωτιστικὴν ἰδιότητα …

f. 34 v **Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα**

Διέρχῃ τὰ σύμπαντα ὡς στρατηγέτης,

τὰ θεῖα προστάγματα

πληρῶν τοῦ Παντοκράτορος,

πιστοὺς ἐξαιρούμενος

πολυειδῶν πειρασμῶν,

θραύεις τοὺς τῆς Ἄγαρ τε

υἱούς, ὅθεν σε πόθῳ, Μιχαήλ, σέβομεν.

Ἡ σκέπη σου, μέγιστε, ἡ προστασία

βεβαία, πανόλβιε,

ἡ χάρις ὑπερβαίνουσα

καὶ νοῦν καὶ διάνοιαν,

ὅθεν κραυγάζω σοι·

φρούρησόν με, λύτρωσαι

f. 35 ἐχθρῶν ἐπεμβαινόντων/ τῇ ἀσθενείᾳ μου.

heirm. ζ΄ EE 34, n. 46, Joannis

134-135 cf Ιω. Χρυσ., PG 55, 386, 41-42: … καὶ χάριν ὑπερβαίνουσαν λογισμὸν ἀνθρώπινον …

138 cf Ευσ. Καισ., PG 23, 93, 15-16: Ἐχθρῶν δέ ἐστι τὸ ἐπεμβαίνειν καὶ ἐπανίστασθαι τοῖς κακοῖς τῶν δι᾽ ἐναντίας …

Νεκρόν με εἰργάσατο ἡ ἁμαρτία,

ὁ ᾅδην καὶ θάνατον

νεκρώσας τῇ δυνάμει σου,

φαρμάκοις με ζώωσον

τῆς μετανοίας, σωτήρ,

ἔχων δυσωποῦντά σε

ἀεὶ τῶν ἀσωμάτων τὸν ἀρχιστράτηγον.

Θεοτ. Διέμεινας ἄφλεκτος, ὥσπερ ἡ βάτος,

τὸ πῦρ τὸ ἀπρόσιτον,

Παρθένε, σωματώσασα,

διὸ ἱκετεύω σε·

αἰωνιζούσης φλογὸς

ῥῦσαί με, Πανάμωμε,

Χριστὸν ἐκδυσωποῦσα τὸν ὑπεράγαθον.

142-143 cf Αθ. Αλεξ., PG 26, 1317, 3-4: … οὐδὲν τούτων ἀνίατον ἡγησάμενος τῷ τῆς μετανοίας φαρμάκῳ …

146-147 Επιφ., PG 43, 493, 57 - 496, 1-3: Χαῖρε, Παναγία Παρθένε, ἡ τὸ πῦρ τῆς θεότητος ἀφλέκτως, ὡς νοερὰ βάτος, κατέχουσα, ἡ νοερὰ κλίβανος, ἡ τὸ πῦρ καὶ τὸν ἄρτον τῆς ζωῆς θερμὸν τῷ κόσμῳ πρὸς βρῶσιν ἐνέγκασα … [cf Ex. 3, 2-3]

139 Rom. 8, 10 **140-141** I Cor. 15, 54-55

f. 36^{v} **Ὠδὴ η΄. Κάμινός ποτε**

Ἔχων φωταυγῆ

καὶ ἄϋλον τὴν φύσιν,

ἐξ οὐρανοῦ ἀποστελλόμενος,

διέρχῃ τὴν σύμπασαν

καὶ τοὺς πίστει ἐξαιτοῦντάς σε

κινδύνων τε καὶ θλίψεων πάντοτε

διασώζεις, ὡς συμπαθής, ἀρχιστράτηγε.

Χείλη ῥυπαρὰ

κινῶ πρὸς ἱκεσίαν

καὶ μολυνθείσας χεῖρας πάθεσι·

Θεοῦ ἀρχιστράτηγε,

μὴ βδελύξῃ μου τὴν δέησιν,

ἀλλ᾽ ἴασαι τὰ τραύματα ἅπαντα

τῆς ψυχῆς μου καὶ τῆς σαρκός, ἱκετεύω σε.

heirm. η΄ EE 34, n. 46, Joannis

Ὅταν με, Χριστέ,

χωρίζειν μέλλεις τούτου

f. 37 τοῦ παναθλίου, φθαρτοῦ/ σώματος,

ἄγγελον εἰρήνης μοι

ἐξαπόστειλον, ἐξάγοντα

τοῦ βίου καὶ πρὸς θείας με ἐπαύλεις

ὁδηγοῦντα διὰ τὴν σὴν ἀγαθότητα.

Θεοτ. Ὕμνησαν Θεόν,

πανύμνητε Παρθένε,

τὸν ἐκ γαστρός σου ἀνατείλαντα

ἀγγέλων τὰ τάγματα,

ὃν ἀπαύστως καθικέτευε

ῥυσθῆναί με τοῦ ὄφεως, ἄχραντε,

τῶν παγίδων, τὸν εὐσεβῶς σε δοξάζοντα.

170 ἄγγελος cod.

f. 38 v **Ὠδὴ θ΄. Ἀνάρχου γεννήτ<ορος>**

Ἰσχὺς καὶ ὀχύρωμα

καὶ μέγα περιτείχισμα

καὶ γαλήνη βεβαία

καὶ φύλαξ ἄγρυπνος,

ξίφος ἀνομοῦντας συγκόπτον,

κρήνη πηγὰς βρύουσα θαυμάτων

τῷ κόσμῳ δεδώρησαι,

τοῦ Κυρίου ἀρχιστράτηγε.

Ὡς εἶδεν ἑστῶτά σε

ὁ Δανιήλ, ἀρχάγγελε,

συνετίζετο φόβῳ

τὴν θείαν ὅρασιν, σοῦ

καταπλαγεὶς τὴν ἰδέαν

τὴν θαυμαστὴν καὶ ὄντως φρικώδη,

ἐν ᾗ καθορώμενος,

διασώζεις τοὺς τιμῶντάς σε.

heirm. θ΄ EE 35, n. 46, Joannis

185 Τσιαπλές Γ., p. 90: … καὶ κατεμπρήσαντα καὶ συγκόψοντα καὶ διωλέσαντα πάντα αὐτῶν σχεδὸν τὰ στίφη … (e cod. Par. gr. 1510)

189 sqq Dan. 10, 13 sqq

Στενούμενος πάντοθεν

τοῖς πειρασμοῖς καὶ θλίψεσιν

καὶ βαρβάρων ἐφόδοις

περικυκλούμενοι,

ὡς πρὸς ἀνυψώσεως πλάτος σου

f. 39 τῇ θερμῇ/ προστρέχομεν σκέπῃ,

Μιχαὴλ ἀρχάγγελε,

βοηθὸς γενοῦ τοῖς δούλοις σου.

Θεοτ. Φανεῖσα, Πανάμωμε,

ἀγγέλων ὑπερέχουσα,

ὡς τὸν πάντων Δεσπότην

ἀποκυήσασα,

γενοῦ πρὸς Θεόν μοι μεσίτης,

τῷ εἰς βυθῷ κακῶν ἐμπεσόντι,

καὶ σῶσόν με, δέομαι,

τὸν πιστῶς σε μεγαλύνοντα.

210 I Tim. 6, 9

Sinait. gr. 638, ff. 111^{v}-115

f. 111^{v}

Ὁ κανών

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Κύματι θαλάσσης

Ἄρχοντά σε μέγα,

φρουρὸν καὶ προστάτην

καὶ ἀντιλήπτορα

ἡμῖν δεδώρηται

ὁ Βασιλεὺς καὶ Δεσπότης,

ὃν παρίστασαι, ἀρχάγγελε,

σὺν ἀΰλοις τάξεσιν

βοώντων ἐπινίκιον.

Βλέψον εἰς λαόν σου

ἐξ ὕψους ἁγίου

τῶν ἀνυμνούντων σε,

Μιχαὴλ ἔνδοξε,

καὶ τῇ ἀΰλῳ σου δόξῃ

περιτείχισον καὶ φύλαξον

ἀπὸ πάσης θλίψεως

heirm. α΄ EE 164, n. 231, Cassiae

3 Ps. 3, 4 **5-8** Is. 6, 2-3 **10** cf Ps. 101, 20

ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Ἅρπασον χειρός με

ἀδίκων ἀνθρώπων,

Θεοῦ ἀρχάγγελε,

καὶ διαφύλαξον,

ὅτι ἰδού, ὥσπερ κύνες

ὠρυόμενοι, ζητοῦσίν με ἀπολέσαι· μέγιστε,

ἐλέησον τοὺς δούλους σου.

Θεοτ. Βίον ἐσφαλισμένον,

ἀλόγους τε πράξεις

οὐδείς, Πανύμνητε,

ὡς ἐγὼ κέκτημαι,

ὑπὲρ γὰρ ψάμμον θαλάσσης

τῷ Υἱῷ σου παρεπίκρανα,

ἀλλ᾽ αὐτὸν ἱκέτευσον,

17-18 cf Philonenko M., 12, 8, 3: Καὶ σύ, κύριε, ἔκτεινον τὰς χεῖράς σου ἐπ᾽ ἐμὲ ὡς πατὴρ φιλότεκνος καὶ φιλόστοργος καὶ ἅρπασόν με ἐκ χειρὸς τοῦ ἐχθροῦ

21-22 Ιω. Χρυσ**.,** PG 54, 603, 41-42: … καὶ ἐν ἐκείνῳ πάλιν τῷ καιρῷ μεγάλα κάτωθεν ὀδυρομένων ἀκούοντες, ὥσπερ κυνὸς λυττῶντος, ἀλλ᾽ οὐκ ἀνθρωπίνης ἀκούοντες φωνῆς οὕτω παρατρέχομεν … **28** cf id., PG 59, 598, 5: … ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης γεγόνασιν αἱ ἀνομίαι μου …

ὡς Μήτηρ, συγχωρῆσαί μοι.

Ὠδὴ γ΄. Σὲ τὸν ἐπὶ ὑδάτων

Ῥώμῃ τοῦ παντεπόπτου

ῥωννύμενος κραυγάζεις ἀνενδότως,

ὡς πρωτουργὸς ἀγγέλων,

τὸν ἐπινίκιον, μέγιστε,

ὕμνον ἀΰλοις χείλεσιν·

οὐκ ἔστιν ἅγιος

πλήν σου, Κύριε φιλάνθρωπε.

Ἐλέησόν με, βοῶ

σοι, πανάϋλε, ἀπογνωσθέντα ὅλως

καὶ ἐκ κακοῖς ἀτόποις

βεβυθισμένον, βοήθει μοι

καὶ ἐκ βυθοῦ ἀνάγαγε,

heirm. γ΄ EE 164, n. 231, Cassiae

35-36 cf MV III, p. 53; MR II, p. 78: Ἀσωμάτοις χείλεσι καὶ νοεροῖς στόμασι τῶν Ἀγγέλων αἱ τάξεις, τὸν ἀκατάπαυστον ὕμνον προσφέρουσι …

41 sqq Ιω. Χρυσ., PG 51, 20, 46: … ὁ τὸ γένος ἡμῶν ἀπὸ τοῦ βυθοῦ τῆς πλάνης εἰς τὸν οὐρανὸν ἀναγαγών … ; HL, p. 23: … καὶ γὰρ ἐν βυθῷ δυσχερῶν προσκαλούμενοί σε, παρευθὺς ῥύστην σε πλουτοῦσιν …

f. 112 συχνῶς/ στενάζοντα·

σῶσον, Μιχαήλ, τοὺς δούλους σου.

Θεοτ. Ζήσας ἐν ἀμελείᾳ,

ἔζωσαν ταῖς ἡδοναῖς τὸ σῶμα,

τὴν δὲ ψυχὴν ἀθλίως

τοῖς τῶν παθῶν μου τοξεύμασιν

κακῶς ἀπεθανάτωσα,

ἀλλά με, Πάναγνε

Μήτηρ, ζώωσον πρεσβείαις σου.

Ὠδὴ δ΄. Τὴν ἐν Σταυρῷ σου θείαν <κένωσιν>

Ὅλος ὡράθης στῦλος πύρινος,

ἐμπιμπρῶν τοῦ ἐχθροῦ

heirm. δ΄ EE 164, n. 231, Cassiae

54 sqq Ευσ. Καισ., PG 23, 1272, 47-50: Ἐντεύθεν εἰκότως ἑρμηνευόμενα τὰ σεραφίμ, εἰς τὴν Ἑλλάδα φωνὴν ἐμπιμπρῶντες ἢ ἐμπρησταὶ σημαίνουσι. Καὶ τό, σεραφὶμ τὸν ἐμπρησμὸν δηλοῦν λέγεται … ; Κύρ. Αλεξ., PG 77, 1185, 22-25: Τὸ δὲ … ἄϋλον πῦρ φλογίζον ἀπαθῶς … ἐμπιμπρῶν τὰς ἀκάνθας τῆς ἁμαρτίας … ; AASS VIII, p. 46: … ὡσεὶ στῦλος πυρὸς ἀπὸ γῆς εἰς οὐρανὸν διήκων … ; AB 8, p. 299: … τότε ἐξῆλθεν ὁ δοῦλος τοῦ Θεοῦ (scil. ὁ Ἀρχιππος) καὶ ἔστη … ἔβλεπεν στῦλον πυρὸς ἀπὸ τῆς γῆς ἕως τοῦ οὐρανοῦ …

53 Ex. 13, 22

τὰς φρυγανώδεις πάσας

δυνάμεις, ἀρχιστράτηγε,

φλέγων δὲ παθῶν

τὰς ἀκάνθους τοὺς πόθῳ

σε μεγαλύνοντας.

Τοὺς ἐν τῷ οἴκῳ σου, ἀρχάγγελε,

ἐν ᾠδαῖς καὶ ψαλμοῖς

γεραίροντά σε πόθῳ,

δίδου ἡμῖν εὐήλατον,

μέγιστε φωστήρ,

τῶν ἁπάντων Δεσπότην

καὶ Βασιλέα, Χριστόν.

Θεοτ. Θανατωθέντα μεστοῖς πάθεσιν

καὶ φθαρέντα δεινῶς

f. 112[v] ταῖς κακαῖς συνη/θείαις,

ἀπάλλαξόν με, δέομαι,

οἴκτειρον, Ἁγνή,

---

63 Is. 26, 7

μὴ βδελύξῃ με μόνη

ἡ προστασία μου.

Ὠδὴ ε΄. Θεοφανείας σου, Χριστέ

Σὲ κατιδὼν ὁ Ἰησοῦς

καὶ θαμβηθεὶς τῇ στολῇ ἀστράπτοντα

καὶ τὸ εἶδος κεκτημένον ἄϋλον,

ἐδεδίει ὅλως καὶ ἔτρεμε

καὶ προκύψας ἐπὶ τὴν γῆν,

σέ προσεκύνησε, βοῶν· ἀρχηγέτα,

ἐνίσχυσον οὖν κἀμέ,

ὡς τὸν θεόπτην Μωσῆν.

Ὥσπερ ἐρρύσω ἀπειλῆς

Σεναχειρίμ, Μιχαὴλ ἀρχάγγελε,

Ἐζεκίαν τὸν πιστὸν θρηνήσαντα

ἐν σποδῷ καὶ σάκκῳ, πανάϋλε,

μυριάσι τὸν πονηρὸν

περικυκλούμενος, ἀεὶ ἐκβοῶ σοι·

heirm. ε΄ EE 164, n. 231, Cassiae

74-80 Jos. 5, 13-14 **81** Ex. 3, 6 **82 sqq** II Macc. 15, 22

βοήθει μοι, ἀρχιστράτηγε,

τὸν δοῦλον σου.

Θεοτ. Κατακαμπτόμενος δεινῶς

ἐκ τῶν παθῶν μου, ὁ τάλας, κράζω σοι·

οὐκ ἰσχύω ἄρα πρὸς παράκλησιν

ταῖς δειναῖς μου χείραις ὁ ἄσωτος,

ὅθεν προστίθει, Μήτηρ Θεοῦ,

τοῖς ἐμοῖς δάκρυσιν καὶ τοὺς στεναγμούς μου,

κολάσεων καὶ πυρὸς

ἐλευθέρωσόν με.

f. 113 **Ὠδὴ στ΄. Συνεσχέθη, <ἀλλ’ οὐ κατεσχέθη>**

Τῶν θαυμάτων σου

τὰ μεγαλεῖα καὶ

τῆς ἰσχύος τὴν πληθὺν τίς

τῶν βροτῶν ἐξείποι,

ἀρχιστράτηγε; Τὸν Ἀββακοὺμ γὰρ

heirm. στ΄ EE 164, n. 231, Cosmae

102 sqq Dan. 13, 32 sqq

ἐξ Ἰουδαίας τῷ ῥοίζῳ τοῦ πνεύματος,

μετεκόμισας εἰς Βαβυλῶνα,

τροφὴν κομίζοντα πάλαι τὸν Δανιήλ,

ἐνκαθειργνυσθέντα ἐν τῷ λάκκῳ τότε.

Συνελήφθην

βρόχοις τοῦ Βελίαρ,

οἴμοι ὁ δύστηνος ἐγώ,

καὶ καταπέπτωκέν με

καὶ κατήγαγεν δεινῶς εἰς Ἅδην

αἰχμαλωτίσας, ὅθεν ἱκετεύω σε,

ἀρχιστράτηγε Κυρίου δόξης,

σπεῦσον καὶ ῥῦσαί με, πίστει σε δυσωπῶ,

κήτους ψυχοφθόρου τῶν ὑμνούντων σε.

Σοὶ προσπίπτω

δάκρυσιν ὁ τάλας,

μέγιστε ἀρχάγγελε,

ὅτι ἰδοὺ ἐκλείπω

καὶ ἐτάκη ὡς κηρὸς τὸ σῶμα

καὶ ἡ ψυχή μου πλήρης ἦν κατώδυνος·

120 Ps. 21, 15; 67, 3; 96, 5; Is. 64, 1

ἐπικάμφθητί μου τῇ δεήσει

καὶ ἐξανάστησον, ἅγιε τοῦ Θεοῦ,

ὥσπερ ὁ Χριστὸς τὸν τετραήμερον.

f. 114 **Ὠδὴ ζ΄. Ἄφραστον θαῦμα! Ὁ ἐν καμίνῳ ῥυσάμενος**

Τὸν ἑωσφόρον,

τὸν τὸ πρωῒ ἀνατέλλοντα,

τῇ ἐπάρσει σκότος γεγονώς,

σοφὲ Μιχαήλ,

τοῦτον κατηδάφισας

καὶ τὰς χορείας ἀγγέλων «Συγκροτεῖτε»

ἀνεβόας·

Χριστέ, εὐλογητὸς εἶ.

Σὺ βοηθός μου,

σύ μου ἀντίληψις πέφυκας,

σὺ προστάτης, σὺ καταφύγιον

ἐχθρῶν δυσμενῶν,

Μιχαήλ, ἰώμενος

heirm. ζ΄ EE 164, n. 231, Cosmae

130 SECP, p. 204: « Πρόσχωμεν ἡμεῖς οἱ κτιστοὶ γεγονότες καὶ τῷ Θεῷ παριστάμενοι …»

124 Jo. 11, 17 **126** Is. 14, 12-14; Luc. 10, 18

f. 114^{v} καὶ ἐξ ἀνθρώπων/ δολίων ἀπαλλάττων,

κατ᾽ ἐμοῦ

ἀνενδότως κινουμένων.

Θεοτ. Ἐπὶ τὸ βάθος

τῆς εὐσπλαγχνίας καὶ τὸ ὕψος

τῶν σῶν δωρεῶν ἀνάστησόν με,

Κόρη ἀπειρόγαμε,

ἵνα κραυγάζω ῥυσθεὶς

ἐκ τῶν κακῶν μου,

λυτρωτά,

ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. <Αὐτόμελον>

*Νόμων πατρῴων οἱ μακαριστοὶ

ἐν Βαβυλῶνι νέοι προκινδυνεύοντες

βασιλεύοντος οὐκ ἔπτηξαν

προσταγῆς ἀλογίστου

καὶ συνηγμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ

---

heirm. η΄ EE 163, n. 229, Theophanis trop. «Νόμων…» ed. in ibid.; TR, p. 655; TV, p. 367; MR I, p. 392

τοῦ κρατοῦντος ἐπάξιον

ἀνέμελπον τὸν ὕμνον

τὸν Κύριον ὑμνεῖτε <τὰ ἔργα

καὶ ὑπερυψοῦτε

εἰς πάντας τοὺς αἰῶνας>.

Τὸν πατριάρχην, θυσιάζοντι

τὸν Ἰσαὰκ ἐν ὄρει Σαβέκ, ἐπέστησας

οὐρανόθεν, ἀρχιστράτηγε,

τὴν σφαγὴν τοῦ φιλτάτου

αὖθις κωλύων, τοῦτον εὐλογίας ἀξιῶν

καὶ κριῶν ὁλοκάρπωμα

προσφέρειν ὑποδείξας·

τὸν Κύριον ὑμνεῖτε <τὰ ἔργα

καὶ ὑπερυψοῦτε

εἰς πάντας τοὺς αἰῶνας>.

Καιρὸς ὀδύνης, καιρὸς θλίψεως,

160 ἐφέστησας cod.

169 sqq Ιω. Χρυσ., PG 49, 172, 21-23: … τότε μὲν γὰρ πολλοὶ τῷ φόβῳ καὶ τῇ τῶν δεινῶν ἐπαγωγῇ τὴν σπουδὴν ὑμῶν ἐλογίζοντο …

156-158; 166-168 cf Dan. 3, 57 **159 sqq** Gen. 22, 11-13 **169** Ps. 114, 3

καιρὸς ἐπαγωγῆς με δεινῶν κατέλαβεν,

ἀλλ᾽ ἐπίφανον τὸ πρόσωπον

τῆς ἀΰλου σου δόξης

καὶ τὰ δεσμά μου λῦσον τῶν πολλῶν ἐγκλημάτων,

τὴν καρδίαν μου εὔφρανον,

Μιχαήλ, τοῦ κραυγάζειν·

τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα

<καὶ ὑπερυψοῦτε

εἰς πάντας τοὺς αἰῶνας>.

Θεοτ. Τρόμῳ, δειλίᾳ συνεχόμενος,

ὅταν εἰς νοῦν ἐπέλθῃ μοι τὸ κριτήριον

τοῦ Υἱοῦ σου, Πανύμνητε,

τῆς φοβερᾶς ἡμέρας,

πρό τε τὸ πλῆθος τῶν ἤδη πραχθέντων μοι κακῶν

ἀφορῶν, ἀπογνώσεως

βυθίζομαι πελάγει

ἀντί μοι, Κύριε· βοήθει, ἔλεον

δεικνῦσα πρὸ τέλους

μοι τὸν Κτίστην πάντων./

171 cf Ps. 30, 17 **174** Ps. 85, 11 **176-178** cf notationem ad vv 156-158; 166-168 **179** Ps. 54, 5-6

f. 115 **Ὠδὴ θ΄.** < **Αὐτόμελον>**

*Ἀπορεῖ πᾶσα γλῶσσα

εὐφημεῖν πρὸς ἀξίαν,

ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος

ὑμνεῖν σε, Θεοτόκε,

ὅμως ἀγαθὴ ὑπάρχουσα

τὴν πίστιν δέχου·

καὶ γὰρ τὸν πόθον οἶδας

τὸν ἔνθεον ἡμῶν,

σὺ γὰρ χριστιανῶν εἶ προστάτις,

σὲ μεγαλύνομεν.

Δαυΐδ, θρηνήσας, λύει

τοῦ θανάτου τὴν θραῦσιν,

ἐπενεχθεῖσαν πάλαι τῷ λαῷ

παρανομοῦντι, δι᾽ ἀγγέλου

τρέψας τὴν ὀργὴν εἰς ἔλεος

τὴν δεσποτείαν,

ὅθεν κἀγὼ βοῶ σοι,

---

heirm. θ΄ EE 37, n. 49, Cosmae

199 sqq II Regn 1, 15-17; 24, 15-17

ἀρχάγγελε Θεοῦ·

πάσης παρανομίας μέρισαι

ταῖς ἱκεσίαις σου.

Μὴ τῷ θυμῷ σου, Κύριε,

ἐλέγξῃς λαόν σου, μὴ

τῇ ὀργῇ σου, Δέσποτα Φιλάνθρωπε,

ἐπάξῃς ἀπειλῆς σου,

ἀλλὰ τῇ παλάμῃ τῇ κραταιᾷ

τοὺς οἰκτιρμούς σου

ἐπὶ τὴν κληρουχίαν

κατάπεμψον τὴν σὴν

θείαις τοῦ ἀρχαγγέλου πρεσβείαις,

μόνε Φιλάνθρωπε.

Θεοτ. *Ἐλέησόν με, Δέσποινα

Ἁγνὴ καὶ Παρθένε, καὶ

λύτρωσαί με πάσης νῦν κακώσεως

